





[illegible] ; 1[illegible]

[illegible], [illegible], [illegible]. [illegible], [illegible] in the [illegible] early [illegible].

[illegible]

[illegible]

[illegible]

[illegible]

QUATENUS PROCOPIUS THUCYDIDEM IMITATUS SIT.

SCRIPSIT

DR. ADOLF DUWE.

Wissenschaftliche Beigabe zum Schulprogramm des Marien-Gymnasiums
zu Jever, 1885.

Felix Dahnius in libro, qui inscribitur »Kampf um Rom« Procopium diligentissime legentem Thucydidem et studiose multumque ejus in scriptis volutantem facit. Equidem, quamquam minime negaverim, hunc librum poeticis fabulis decorum esse et permultum ab historiae fide abhorrere, tamen statuendum esse puto, quod jam diu viris doctis persuasum est, Procopium cum aliorum tum Thucydidis scriptis eruditum esse eumque ad imitandum sibi proposuisse.

Sed priusquam hujus rei maxima documenta edam, quaerendum mihi videtur, quinam fructus tali ex comparatione capiatur.

Qua de re satis habeo dixisse, non solum eum, qui ad alterius exemplum se applicet ejusque ex scriptis quasi ex fonte perenni hauriat, tarda mente et artis, quam profiteatur, rudem ac tironem esse apparere, sed etiam eum, qui alterum imitando effingat atque exprimat, non temeritate quadam et casu impulsum hoc ipsum exemplum elegisse, quod imitaretur, sed consilium pro tempore et pro re cepisse studiisque aequalium assensum esse.

Atque ut jam ad ipsam rem accedamus, primum disputandum est

A. De sententiis e Thucydide delibatis.

a. Initium faciam ab ea imitatione, quae magis sensu quam verbis contineatur.

In praefatione operis uterque uberius causas explicat, quibus adductus sit ad ea ipsa bella *perscribenda*, quae ex tanta copia rerum gestarum elegit.

Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους (Thuc. I, 1).

Προκόπιος Καισαρεὺς τοὺς πολέμους ξυνέγραψεν, οὓς Ἰουστινιανὸς ὁ Ῥωμαίων βασιλεὺς πρὸς βαρβάρους διήνεγκε τούς τε ἐῴους καὶ ἑσπερίους, ὥς πη αὐτῶν ἑκάστῳ ξυνηνέχθη γενέσθαι [1].

Quibus dictis noster Thucydide misso auctoritatem Herodoti sequitur:

— ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστά, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδειχθέντα, ἀκλέα γένηται (Herod. praef.).

ὡς μὴ ἔργα ὑπερμεγέθη ὁ μέγας αἰὼν λόγου ἔρημα χειρωσάμενος τῇ τε λήθῃ αὐτὰ καταπρόηται καὶ παντάπασιν ἐξίτηλα θῆται (Ibid. lin. 4 et 5).

1) B. Pers. I, 1 pg. 10. lin. 1 sqq. ed. Dind. Bonnae 1833.

— ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων (Thuc. I, 1).

ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει (I, 22).

Mox autem denuo Thucydidis vestigia persequitur:

ὧνπερ τὴν μνήμην αὐτὸς ᾤετο μέγα τι ἔσεσθαι καὶ ξυνοῖσον ἐς τὰ μάλιστα τοῖς τε νῦν οὖσι καὶ τοῖς ἐς τὸ ἔπειτα γενησομένοις, εἴ ποτε καὶ αὖθις ὁ χρόνος ἐς ὁμοίαν τινὰ τοὺς ἀνθρώπους ἀνάγκην διωθοῖτο. τοῖς τε γὰρ πολεμησείουσι καὶ ἄλλως ἀγωνιουμένοις ὄνησίν τινα ἐκπορίζεσθαι οἷά τέ ἐστιν ἡ τῆς ἐμφεροῦς ἱστορίας ἐπίδειξις, ἀποκαλύπτουσα μὲν ὅπη ποτὲ τοῖς προγεγενημένοις τὰ τῆς ὁμοίας ἀγωνίας ἐχώρησεν, αἰνισσομένη δὲ ὁποίαν τινὰ τελευτὴν τοῖς γε ὡς ἄριστα βουλευομένοις τὰ παρόντα, ὡς τὸ εἰκός, ἕξει (ibid. lin. 6 sqq.).

Uterque se historiae fidem non laesisse contendit:

τὰ δ᾽ ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν οὐδ᾽ ὡς ἐμοὶ ἐδόκει, ἀλλ᾽ οἷς τε αὐτὸς παρῆν καὶ περὶ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών (I, 22).

καὶ οἱ αὐτῷ ξυνηπίστατο πάντων μάλιστα δυνατὸς ὢν τάδε ξυγγράψαι κατ᾽ ἄλλο μὲν οὐδέν, ὅτι δὲ αὐτῷ ξυμβούλῳ ᾑρημένῳ Βελισαρίῳ τῷ στρατηγῷ σχεδόν τι ἅπασι παραγενέσθαι τοῖς πεπραγμένοις ξυνέπεσε. πρέπειν τε ἡγεῖτο ῥητορικῇ μὲν δεινότητα, ποιητικῇ δὲ μυθοποιίαν, ξυγγραφῇ δὲ ἀλήθειαν. ταῦτά τοι οὐδέ του τῶν οἱ ἐς ἄγαν ἐπιτηδείων τὰ μοχθηρὰ ἀπεκρύψατο, ἀλλὰ τὸ πᾶσι ξυνενεχθέντα ἕκαστα ἀκριβολογησάμενος ἀνεγράψατο, εἴτε εὖ εἴτε πη ἄλλῃ αὐτοῖς εἰργάσθαι ξυνέβη (ibid. lin. 14 sqq.)

Haec noster habuit de fide, quae Thucydide auctore usus diceret. Latius jam scribendo prosequitur id, quod initio breviter dixit, memoriam bellorum, quae perscripturus sit, sempiternam futuram esse propter rei gravitatem:

κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερασαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν, ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντι μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα (I, 1).

κρεῖσσον δὲ οὐδὲν ἢ ἰσχυρότερον τῶν ἐν τοῖσδε τοῖς πολέμοις τετυχηκότων τῷγε ὡς ἀληθῶς τεκμηριοῦσθαι βουλομένῳ φανήσεται. πέπρακται γὰρ ἐν τούτοις μάλιστα πάντων ὧν ἀκοῇ ἴσμεν θαυμαστὰ οἷα,

καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων ἐν ᾧ μὲν ἂν πολεμῶσι τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ τὰ ἀρχαῖα μᾶλλον θαυ-

ἥν μήτις τῶν τάδε ἀναλεγομένων τῷ παλαιῷ χρόνῳ τὰ πρεσβεῖα διδοίη καὶ τὰ καθ᾽ αὐτὸν οὐκ ἀξιοίη θαυμαστὰ οἴεσθαι (ibid. pg. 11, lin. 3 sqq.).

μαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν (I, 21).

Quod permulti saepe contempta ipsorum aetate rerum veterum memoriam repetant et, quidquid fabularum de rebus tunc gestis in ore hominum versetur, comprobent, uterque vituperat, prolatis in medium exemplis. Procopius autem res minutas eam ob rem inani vocis sono decorare videtur, ut quam diutissime vestigiis Thucydidis ingredi possit et habeat, quem sequatur. Ut enim hic auctor gravissimus homines de Pisistratidis aliisque rebus falso judicare affirmat (I, 20), ita noster nonnullos judicio labi contendit, qui militibus suae aetatis nomen τοξότας, Homericae ἀγχεμάχους vel ἀσπιδιώτας dent et virtute bellica multo insigniores esse velint homines illos priscos (ibid. pg. 11, lin. 8 sqq.). Qua in re explananda in memoriam verborum Thucydidis redit et bis voce ἀταλαίπωρος utitur:

οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καί ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται (I, 20).

— ἀταλαίπωρόν γε καὶ τῆς πείρας ἀπωτάτω τὴν περὶ αὐτῶν ποιούμενοι δόξαν (ibid. pg. 11, lin. 12 sq.).

et in lineis sequentibus:

ἀταλαιπώρως ἐχρῶντο (pg. 12, 3).

Priusquam autem in rem ipsam, quae ei est proposita, intret, iterum eadem decantat, quae jam supra eum ex Thucydide hausisse demonstravimus:

εἰσὶ δὲ οἳ τούτων ἥκιστα ἐνθυμούμενοι σέβονται μὲν καὶ τεθήπασι τὸν παλαιὸν χρόνον οὐδὲν δὲ ταῖς ἐπιτεχνήσεσι διδόασι πλέον. ἀλλὰ τούτων οὐδὲν κωλύσει μὴ οὐχὶ μέγιστά τε καὶ ἀξιολογώτατα ἐν τοῖσδε τοῖς πολέμοις ξυμβῆναι (ibid. pg. 12, 20 sqq.).

Idem in bello Goth. (IV, 6 pg. 483, 12 sqq.) cum controversiam de finibus Asiam ab Europa separantibus commemorat, scribit:

οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. — — — οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται (I, 20). — — — τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων (I, 21).

— — ἐκεῖνο εἰδὼς ὡς ἐκ τοῦ ἐπὶ πλεῖστον ἄνθρωποι ἅπαντες, ἣν τινος φθάσωσι λόγου ἀρχαίου πεποιημένοι τὴν μάθησιν, οὐκέτι ἐθέλουσι τῇ τῆς ἀληθείας ζητήσει ἐμφιλοχωροῦντες ταλαιπωρεῖν, οὐδὲ νεωτέραν τινὰ μεταμαθεῖν ἀμφ' αὐτῷ δόξαν, ἀλλ' ἀεὶ αὐτοῖς τὸ μὲν παλαιότερον ὑγιές τε δοκεῖ καὶ ἔντιμον εἶναι, τὸ δὲ κατ' αὐτοὺς εὐκαταφρόνητον εἶναι νομίζεται καὶ ἐπὶ τὸ γελοιῶδες χωρεῖ.

Thucydides (II, 75 sq.) demonstrat, Lacedaemonios aggere exstructo Plataeas expugnare voluisse. Qua ex spe deturbatos alia multa eos frustra invenisse. Plataeenses enim, laborum patientissimos peritissimosque belli artium causae suae non diffisos ipsumque

Quem locum noster imitatur (B. P. I, 7 pg. 36, 3 sqq.), cum Amidam urbem a Persis oppugnatam subtiliter et copiose describit. Nam Cabades rex aggerem moenia urbis superantem exstruit. Incolae autem Plataeensium exemplum sequuntur:

aggerem cuniculo acto subruere ausos esse:

— ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἱζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον (Thuc. II, 76).

οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλον ἐς τὸ διῃρημένον (Thuc. II, 76).

— — καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρεσιν ἃ ἔκοψαν τοῦ μηδένα ἔτι ἐξιέναι, ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην τὴν αἵρεσιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου. ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος, παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα. ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ γῆν καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον (Thuc. II, 75).

Lacedaemonii Plataeas igni tentant:

— φοροῦντες δὲ ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως, ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ ἧψαν τὴν ὕλην (Thuc. II, 77).

— κατώρυχα μέχρις ἐς τὸν λόφον ἐποίουν, καὶ λάθρα ἐνθένδε τὸν χοῦν ἐκφοροῦντες κενὰ ἐπὶ πλεῖστον τὰ ἐντὸς τοῦ λόφου εἰργάσαντο. τὰ μέντοι ἐκτὸς ἐφ' οὗπερ ἐγεγόνει σχήματος ἔμεινεν, οὐδενὶ αἴσθησιν παρεχόμενα τοῦ πρασσομένου (l. d. I, 7 pg. 36, 5 sqq.).

Idem fere Edessenos fecisse noster narrat (B. P. II, 27 pg. 274, 4 sqq.):
διώρυχα ἐκ τῆς πόλεως ἔνερθε τῶν πολεμίων τοῦ χώματος ἐργασάμενοι ἐκέλευον τοὺς ὀρύσσοντας μὴ μεθίεσθαι τοῦ ἔργου τούτου, ἕως ὑπὸ τὸν λόφον γένωνται μέσον. — — — — — — — — ὃ δὴ γνόντες Ῥωμαῖοι τούτου μὲν ἀπέσχοντο, χοῦν ἐπὶ τὸν κενωθέντα χῶρον ἐπιβαλόντες (ibid. lin. 12 sq.).

Eandem fere rationem Edessae expugnandae Chosroes iniisse dicitur, quam Lacedaemonii Plataeas oppugnantes (l. d. pg. 270, 7 sqq.):
— — λόφον ἐπαναστῆσαι χειροποίητον τῷ τῆς πόλεως περιβόλῳ βουλόμενος, ἐπεὶ τὰ δένδρα ἐκτεμὼν αὐτοῖς φύλλοις πολλὰ ἐκ χωρίων ἐγγύς πῃ ὄντων πρὸ τοῦ τείχους ἐν τετραγώνῳ ξυνέθηκεν, οὗ δὴ βέλος ἐκ τῆς πόλεως ἐξικνεῖσθαι ἀδύνατα ἦν, χοῦν τε πολύν τινα ἀτεχνῶς ὕπερθε τῶν δένδρων ξυναμησάμενος μέγα τι λίθων χρῆμα ἐπέβαλλεν, οὐκ ἐχόντων ἐς οἰκοδομίας ἐπιτηδείως, ἀλλ' εἰκῇ ἐκτμηθέντων, ἐκείνου μόνου ἐπιμελούμενος, ὅπως δὴ ὁ λόφος ὅτι τάχιστα ἐς ὕψος μέγα ἐπαίροιτο.

Edesseni autem aggerem incendere conantur:
— ἐκ δὲ ἄκρου χώματος κάτωθεν, ὃ πρὸς τῷ τείχει ἐτύγχανεν ὄν, ξύλα τε καὶ λίθους καὶ χοῦν ἐκφορήσαντες καθάπερ οἰκίσκου σχῆμα εἰργάσαντο, πρέμνα τε δένδρων τῶν ῥᾷστα καιομένων ξηρὰ ἐνταῦθα εἰσέβαλλον, ἐλαίῳ τε καταβεβρεγμένα τῷ ἐκ κέδρου πεποιημένῳ καὶ θείῳ τε καὶ ἀσφάλτῳ πολλῇ (l. d. pg. 274, 13 sqq.).

Noster cum aliis locis, tum hic ea, quae Thucydides pressit, dilatavit pluribusque verbis in conatibus Edessenorum commoratur,

quae in medium proferre longum est (l. d. pg. 275, 3 sqq.).

Si recte nuper contendit Mueller-Struebingius[1]) historiae fide minus comprobata esse, quae Thucydides memoriae prodiderit imprimisque in Plataearum oppugnatione depingenda eum ad praecipiendi rationem delapsum esse, etiam noster videtur multa ad libidinem finxisse neque rem sed verba saepe secutus esse.

Maximis laudibus Thucydides Themistoclem prosequitur, quod quasi divinitus longe in posterum prospexerit et res difficillimas eximia mentis acie et insigni ingenii acumine, non usu atque exercitatione enucleaverit et expediverit:

οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθών, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε, ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο, τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα. καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο (Thuc. I, 138).

Comparandi sunt duo loci: B. P. I, 24 pg. 121, 17 sqq.:

— Ἰωάννης (sc. ὁ Καππαδόκης) λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι· φύσεως δὲ ἰσχύι πάντωνγέγονε δυνατώτατος ὧν ἡμεῖς ἴσμεν. γνῶναί τε γὰρ τὰ δέοντα ἱκανώτατος ἦν καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν.

B. G. III, 1 pag. 282, 7 sq.:

ἦν δὲ (sc. Βελισάριος) πρὸς τοῖς ἄλλοις ἅπασιν ἀγχίνους τε διαφερόντως καὶ ἐν τοῖς ἀπόροις ἐπινοῆσαι τὰ βέλτιστα ἱκανώτατος.

In pestilentia quoque persequenda noster Thucydidis exemplum sibi ad imitandum proposuit. Neque solum eundem fere ordinem servat in enumerandis singulis, sed etiam alia multa imitatione ex eo exprimit:

ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν, τελευτῶντές τε αὐτῶν ἀπέστησαν ὑπὸ τοῦ κακοῦ νικώμενοι (Thuc. II, 47).

κατ' ἀρχὰς μὲν οὖν οἱ παραπεπτωκότες ἀποτρέπεσθαι αὐτὰ (sc. φάσματα) ἐπειρῶντο τῶν τε ὀνομάτων ἀποστοματίζοντες τὰ θειότατα καὶ τὰ ἄλλα ἐξοσιούμενοι, ὡς ἕκαστός πη ἐδύνατο, ἤνυον μέντοι τὸ παράπαν οὐδέν, ἐπεὶ κἀν τοῖς ἱεροῖς οἱ πλεῖστοι καταφεύγοντες διεφθείροντο (B. P. II, 22 pg. 251, 9 sqq.).

καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ οὔτ' ἄγαν θερμὸν ἦν οὔτε χλωρὸν (II, 49).

καὶ τὸ μὲν σῶμα οὔτε τι διήλλασσε τῆς προτέρας χροιᾶς οὔτε θερμὸν ἦν. (l. d. pg. 252, 1 sq.).

1) **Die Glaubwürdigkeit des Thuc. gepr. an s. Darstllg. d. Belagrg. v. Plat. N. Jhrbb. f. Philol. u. Paed. 5. u. 6. Heft, 131. u. 132 Bd. 1885.**

τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους (II, 49). τὰ δὲ ἐντὸς οὕτως ἐκάετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς μηδ' ἄλλο τι ἢ γυμνοὶ ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι (II, 49).	οἷς μὲν γὰρ τὸ κῶμα ἐπέκειτο, πάντων ἐπιλελησμένοι τῶν εἰωθότων σφίσιν ἐς ἀεὶ καθεύδειν ἐδόκουν (l. d. pg. 252, 18 sq.). ἔκ τε γὰρ τῶν στρωμάτων ἐκπίπτοντας καὶ καλινδουμένους ἐς τὸ ἔδαφος ἀντικαθίστων αὖθις καὶ ῥιπτεῖν σφᾶς αὐτοὺς ἐκ τῶν οἰκημάτων ἐφιεμένους ὠθοῦντές τε καὶ ἀνθέλκοντες ἐβιάζοντο. εἰς ὕδωρ τε οἷς παρατύχοι ἐμπεσεῖν ἤθελον οὐ δὴ οὐχ ὅσον τοῦ ποτοῦ ἐπιθυμίᾳ (ἐς γὰρ θάλασσαν οἱ πολλοὶ ὥρμηντο) ἀλλ' αἴτιον ἦν μάλιστα ἡ τῶν φρενῶν νόσος (l. d. pg. 253. 12 sqq.).
οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ (II, 47). — ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐναταῖοι καὶ ἑβδομαῖοι (II, 49). ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι, ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ τι χρῆν προσφέροντας ὠφελεῖν. τὸ γάρ τῳ ξυνενεγκόν, ἄλλον τοῦτο ἔβλαπτε· σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα (II, 51).	ἀπορούμενοι γοῦν τῶν τινες ἰατρῶν τῇ τῶν ξυμπιπτόντων ἀγνοίᾳ (l. d. pg. 254, 4 sq.). ἔθνησκον δὲ οἱ μὲν αὐτίκα, οἱ δὲ ἡμέραις πολλαῖς ὕστερον (l. d. pg. 254, 8 sq.). οὕτως αἰτία τις ἦν οὐδεμία ἐν ταύτῃ τῇ νόσῳ ἐς ἀνθρώπου λογισμὸν φέρουσα· πᾶσι γάρ τις ἀλόγιστος ἀπόβασις ἐπὶ πλεῖστον ἐφέρετο καὶ τὰ λουτρὰ τοὺς μὲν ὤνησε, τοὺς δὲ οὐδέν τι ἧσσον κατέβλαψεν. ἀμελούμενοί τε πολλοὶ δὲ παρὰ λόγον ἐσώζοντο (l. d. pg. 254, 16 sqq.).
(οὔτε γὰρ ἰατροὶ ἤρκουν) — οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία (II, 47).	— καὶ τὸ ξύμπαν εἰπεῖν οὐδεμία μηχανὴ ἀνθρώπῳ ἐς τὴν σωτηρίαν ἐξεύρητο (l. d. pg. 255, 1 sq.).
ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας φθάσαντες τοὺς νήσαντας οἱ μὲν ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον, οἱ δὲ καιομένου ἄλλου ἄνωθεν ἐπιβαλόντες ὃν φέροιεν ἀπῄεσαν (II, 52).	— νεκρῶν, οὓς δὴ καὶ ἐς ἀλλοτρίας θήκας ἐρρίπτουν ἢ λανθάνοντες ἢ βιαζόμενοι (l. d. II, 23 pg. 256, 3 sq.).
πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα (II, 53). εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἐρῆμοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος (II, 51).	ἔπειτα δὲ ἅπαντα ἐν ἅπασι ξυνεταράχθη (l. d. pg. 256, 4 sq.). δοῦλοί τε γὰρ ἔμειναν δεσποτῶν ἔρημοι, ἄνδρες τε τὰ πρότερα λίαν εὐδαίμονες τῆς τῶν οἰκετῶν ὑπουργίας ἢ νοσούντων ἢ τετελευτηκότων ἐστέρηντο, πολλαί τε οἰκίαι παντάπασιν ἔρημοι ἀνθρώπων ἐγένοντο (l. d. pg. 256, 5 sqq.).
Thucydides, quum Periclis mores effingit, haec dicit: ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή (II, 65).	Cujus loci noster meminit B. G. I, 1 pg. 10, 18: ἦν τε ὁ Θευδέριχος λόγῳ μὲν τύραννος, ἔργῳ δὲ βασιλεὺς ἀληθής; et B. G. I, 12 pg. 68, 21: Γότθων μέν, Θευδερίχου δόντος τῷ λόγῳ ἦρχεν, (sc. Θεύδης) ἔργῳ δὲ τύραννος οὐκ ἀφανὴς ἦν.

Eodem loco scriptum videmus:
μετρίως ἐξηγεῖτο (sc. Περικλῆς).

— ὧν δὲ ἡ ξύμπασα πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. — — — — — — — — — — — — — — — — — — —

ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἐς τὸν πόλεμον (Thuc. II, 65).

Athenienses, pestilentia attriti et cruciati veteris cujusdam oraculi recordationem repetunt et secum reputant, quidnam dicere velit. Alii in memoriam vocis illius Pythicae redeunt, qua Lacedaemoniis consulentibus responsum erat, si strenue pugnavissent victoriam eos adepturos esse deumque ipsum adjutorem fore (Thuc. II, 54).

— μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς

Haud scio an hoc in suum rivulum duxerit Procopius, cum de Theodorico haec commemorat:

καὶ ἀδίκημα σχεδόν τι οὐδὲν οὔτε αὐτὸς ἐς τοὺς ἀρχομένους εἰργάζετο οὔτε τῳ ἄλλῳ τὰ τοιαῦτα ἐγκεχειρηκότι ἐπέτρεπε (B. G. I, 1 pg. 10, 14 sq.).

Utcunque hac de re judicabimus, facile intelligemus, cives admiratione fere eadem Theodorici regnantis captos fuisse mortuumque eadem fere pietate et verecundia prosecutos esse, qua Athenienses Periclem:

— ἔρως τε αὐτοῦ ἔν τε Γότθοις καὶ Ἰταλιώταις πολὺς ἤκμασε. —

ἔτη δὲ ἐπιβιοὺς ἑπτὰ καὶ τριάκοντα ἐτελεύτησε, φοβερὸς μὲν τοῖς πολεμίοις γεγονὼς ἅπασι, πόθον δὲ αὐτοῦ πολύν τινα ἐς τοὺς ὑπηκόους ἀπολιπών (l. d. pg. 11, 1 sqq.).

Comparandus est locus B. G. I, 7 pg. 33, 22 sqq. ubi noster Mundum, Romanorum ducem, et filium, cum Gothis in Dalmatia congressos, fortiter dimicantes occisos esse narrat:

τότε Ῥωμαῖοι ἀνεμνήσθησαν τοῦ Σιβύλλης ἔπους, ὅπερ ᾀδόμενον ἐν τῷ πρὶν χρόνῳ τέρας αὐτοῖς ἔδοξεν εἶναι. ἔλεγε γὰρ τὸ λόγιον ἐκεῖνο ὡς, ἡνίκα ἂν Ἀφρικὴ ἔχηται, ὁ κόσμος ξὺν τῷ γόνῳ ὀλεῖται. τὸ μέντοι χρηστήριον οὐ τοῦτο ἐδήλου, ἀλλ' ὑπειπὸν ὅτι δὴ αὖθις ὑπὸ Ῥωμαίοις Λιβύη ἔσται καὶ τοῦτο ἐπεῖπεν, ὅτι τότε ξὺν τῷ παιδὶ ἀπολεῖται Μοῦνδος. λέγει γὰρ ὧδε, ἀερίσας ἄρτα (sequuntur hic notae litterarum) τζεριστασι. ἐπεὶ δὲ κόσμος τῇ Λατίνων φωνῇ ὁ Μοῦνδος δύναται, ᾤοντο ἀμφὶ τῷ κόσμῳ τὸ λόγιον εἶναι.

Quoniam loquimur de oraculis, Theodati exemplum afferre liceat, hominis ignavi et superstitiosi, quem ad vaticinationes confugientem facit Procopius:

Θευδάτιος — τότε δὲ τοῖς παροῦσιν ἀπορούμενος, ὃ δὴ μάλιστα τοὺς ἀνθρώπους ἐς μαντείας ὁρμᾶν εἴωθε, τῶν τινος Ἑβραίων, — ἐπυνθάνετο (B. G. I, 9 pg. 45, 12 sqq.).

καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται (Thuc. V, 103).

φιλοῦσι γὰρ ἄνθρωποι τοῖς παροῦσι διαπορούμενοι τὰ ἐσόμενα τερατεύεσθαι, καὶ τοῖς ἐνοχλοῦσιν ἀποχναιόμενοι τὰ ξυμβησόμενα λόγῳ οὐδενὶ τεκμηριοῦσθαι (B. G. III, 29 pg. 400. 11 sqq.).

Vitigis Romam ingressus Gothis, oratione habita, demonstrat, Ravennam proficiscendum esse, ibique omnibus rebus apparatis et expeditis bellum committendum esse (B. G. I, 11 pg. 59, 4):

— νομίζω (sc. Διόδοτος) τε δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης (Thuc. III, 42).
ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν ἢ μετὰ ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών (III, 48).
γνόντες ὅτι ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦται, προνοίᾳ δὲ πλεῖστα (VI, 13).

αἱ μέγισται τῶν πράξεων, ἄνδρες ξυστρατιῶται, οὐ καιρῶν ὀξύτητι, ἀλλ' εὐβουλίᾳ φιλοῦσιν ὀρθοῦσθαι. πολλάκις γὰρ μέλλησίς τε εἰς καιρὸν ἐλθοῦσα μᾶλλον ὤνησε καὶ σπουδὴ οὐκ ἐν δέοντι ἐπιδειχθεῖσα πολλοῖς ἀνεχαίτισε τὴν τοῦ κατορθώσειν ἐλπίδα.

Fame in Italia exorta multi gravi morbo implicantur. Quem descripturus noster locos nonnullos antea neglectos ea ex parte librorum Thucydidis depromit et imitatur, ubi de pestilentia disseritur:

ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω — ταῦτα δηλώσω αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας (Thuc. II, 48).
— νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες τοῦ ὕδατος ἐπιθυμίᾳ, τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων (II, 52).

ὁποῖοι δὲ τὸ εἶδος ἐγένοντο καὶ ὅτῳ τρόπῳ ἔθνησκον αὐτὸς θεασάμενος ἐρῶν ἔρχομαι (B. G. II, 20 pg. 227, 9 sqq.).
καὶ γῇ μὲν αὐτοὺς οὐδεὶς ἔκρυπτεν· οὐ γὰρ ἦν τις ὅτῳ καὶ ταφῆς λόγος γένοιτο (l. d. pg. 228, 15 sqq.).

τὰ γὰρ ὄρνεα καὶ τετράποδα ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει ἢ γευσάμενα διεφθείρετο (II, 50).

ὄρνις μέντοι αὐτῶν οὐδεὶς ἥπτετο, οἷον πολλοὶ σιτίζεσθαι πεφύκασι νεκροῖς σώμασιν, ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅτου ἐφεῖντο (l. d. pg. 228, 17 sq.).

Marcianus quidam, qui rebus Justiniani favebat, cum Veronam Gothis expulsis Romanis tradere vellet, portae custode pecunia corrupto duces Romanos mittere jussit, qui rem perpetrarent. Et cum initio re bene gesta Gothi intempesta nocte terrore percussi ex urbe fugissent, collem quendam potiverunt, juxta urbem positum:

ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων ἐπὶ μετεώρου

ἄκρα δέ τις ἐς ἄγαν ὑψηλὴ πρὸ τοῦ περιβόλου

πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν αὐτὸν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ ὅπερ προσεδέχετο ποιήσειν αὐτόν, ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι (Thuc. V, 6).

ἀνέχει, ὅθεν ἅπαντα κατανοεῖν πάρεστι τὰ ἐν Βερώνῃ πρασσόμενα καὶ ἀπαριθμεῖσθαι τοὺς ταύτῃ ἀνθρώπους, καὶ μὴν καὶ τοῦ πεδίου ἐπὶ πλεῖστον ὁρᾶν (B. G. III, 3 pg. 292, 3 sqq.).

ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν (V, 8).

— οἱ Γότθοι ἀπὸ τῆς ἄκρας ἐς τὸ ἀκριβὲς κατανενοηκότες τούς τε ἀνὰ τὴν πόλιν πολεμίους καὶ ὅσῳ Βερώνης τὸ ἄλλο στράτευμα διέχον εἱστήκει, δρόμῳ ἐπὶ τὴν πόλιν ἐχώρησαν δι' αὐτῶν τῶν πυλῶν ὧνπερ ἀπαλλαγέντες πρότερον ἔτυχον (l. d. pg. 292, 12 sqq.).

Gothos quosdam, missos ab exercitu Perusiam obsidente, Totilas adhortatur, ne contrahant ac demittant animum, neve sibi succenseant:

ὁ δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας (ἔτι δ' ἐστρατήγει) ἐβούλετο θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι (Thuc. II, 59).

»Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται (αἰσθάνομαι γὰρ τὰς αἰτίας) καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε (II, 60).

ὁρῶν ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ἐμὲ μὲν οὐκ ὀρθῶς δι' ὀργῆς ἔχοντας, ἀγανακτοῦντας δὲ πρὸς τὸ τῆς τύχης ξυμπεπτωκὸς ἐναντίωμα, ξυναγαγεῖν τανῦν ἔγνωκα, ὅπως ὑμῶν δόξαν ὡς ἥκιστα ὀρθὴν ἀφελὼν ἀντικαθιστάναι τὴν γνώμην ἐπὶ τὰ βελτίω δυνήσωμαι, καὶ μήτε ἀχαριστεῖν οὐδὲν ὑμῖν προσῆκον ἐς ἐμὲ δόξητε μήτε ἀγνωμοσύνῃ ἐς τὸ θεῖον ὑπὸ ἀβελτερίας χρῆσθαι (B. G. III, 25 pg. 382, 19 sqq.).

πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι (II, 64).

τὰ γὰρ ἀνθρώπειά ποτε σφάλλεσθαι ξύμπαντα πέφυκεν (l. d. pg. 383, 2).

ἐν τοῖς πταίσμασι δὴ τῶν ἀνθρώπων ἐνθυμουμένους ὡς οὐδὲν πέφυκεν ἐφ' ἑαυτοῦ μένειν (l. d. pg. 385, 6 sq.).

ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δε κακουμένοις — καὶ μεταβολῆς μεγάλης καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε (II, 61).

ὑμεῖς δὲ τὴν εὐβουλίαν θαυμάζοντες ὑπουργεῖτε τῇ γνώμῃ ταύτῃ, τὸ ἔργον, ὡς τὸ εἰκός, οἰκειούμενοι. ὁ γὰρ ἐπαινέσας τὸν δεδρακότα οὐδέν τι ἧσσον τῶν πεπραγμένων αὐτουργὸς γίνεται. νῦν δὲ μεταβέβλησθε, ὦ φίλτατοι Γότθοι, ἐπειδὴ ξυνέβη Βελισάριον κρεῖσσον λόγου θράσος ἑλόμενον τῶν ἐγκεχειρημένων αὐτῷ παρὰ δόξαν κρατεῖν, καὶ ἀπ' αὐτοῦ καταπεπλῆχθαι τὸν ἄνθρωπον [illegible] ἀνδρεῖον ὑμῖν ξυμβαίνει (l. d. pg. 384, 8 sqq.).

τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής,

ῥᾷον γὰρ οἱ θρασεῖς εὔτολμοι κέκληνται ἢ οἱ προμηθεῖς ἀσφαλεῖς. ὁ μὲν γὰρ παρά τε καθεστῶτα

τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφαλείᾳ δὲ τὸ ἐπιβουλεύεσθαι ἀποτροπῆς πρόφασις εὔλογος (III, 82).
δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον. ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται, ὅμως δὲ τὴν πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλων ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν (II, 61).

τολμήσας ἐννοίᾳ τοῦ δοκοῦντος δραστηρίου τετίμηται, ὁ δὲ προμηθεῖ γνώμῃ ἀποκνήσας τὸν κίνδυνον ἀποτυχών τε τὴν αἰτίαν ἐπισπᾶται τῶν ξυμπιπτόντων καὶ πράξας κατὰ νοῦν οὐδὲν αὐτὸς τοῖς γε ἀμαθέσιν ἐργάσασθαι δοκεῖ (l. d. pg. 384, 14 sqq.).
καίτοι πῶς οὐκ ἂν ἄπο τοῦ σώφρονος τρόπου φανείη τοὺς πολλά τε καὶ μεγάλα περιβεβλημένους εὐτυχήματα οὐ πολλῷ ἔμπροσθεν ἐν βραχεῖ τε τανῦν πταίσαντας οὕτω δεδουλῶσθαι τὸ φρόνημα; οὐ γὰρ ἄλλο οὐδὲν τὸ τοιοῦτόν ἐστιν ἢ ἀπαξιοῦν τε καὶ ἀπαρνεῖσθαι ἀνθρώπους εἶναι (l. d. pg. 385, 10 sq.

Ita singula inter se comparanda mihi visa sunt, quamquam non negaverim, fieri posse, ut alius aliud hac de re sentiat. Tot enim sententias noster undique ex Thucydide carpsit, ut scripta ejus centonis instar sint. Quae cum ita sint, ut extremum aliquid habeat haec pars disputationis meae, hunc locum addidisse satis habeo:

— καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί εἰσι καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις (Thuc. IV, 17).

οἱ γὰρ ἄνθρωποι εὐημερίας ἐκ τοῦ παραλόγου ἐπιλαβόμενοι οὐ δύνανται τὴν διάνοιαν ἐνταῦθα ἱστάναι, ἀλλὰ χαραδοκοῦσι τὰ πρόσω, καὶ ταῖς ἐλπίσιν ἐπίπροσθεν ἀεὶ χωροῦσιν, ἕως καὶ τῆς οὐ δέον ὑπαρξάσης αὐτοῖς εὐδαιμονίας στερήσονται (B. G. III, 31 pg. 406, 9 sqq.).

b. Nunc afferam sententias similibus aut fere iisdem verbis ex Thucydide depromptas.

Initium faciamus ab iis locis, quibus uterque se ipse nominat:

Θουκυδίδην τὸν Ὀλόρου ὃς τάδε ξυνέγραψεν (Thuc. IV, 104).

Προκόπιος ὃς τάδε ξυνέγραψε (B. Vand. I, 12 pg. 363, 2 sq.).
Idem invenimus (B. G. II, 23 pg. 241, 23).

Saepissime apud Thucydidem legimus:
καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν (II, 103)
vel huic loco simillima. Semper dativum τῷ πολέμῳ Thucydides scripsit (excepto loco II, 47), et nomina numeralia articulo carent, dempto loco II, 70 (cf. Class. et Krueg. ad II, 47).

Procopius, Thucydidem imitatus, semper dativum τῷ πολέμῳ exhibet, nomen numerale tum cum articulo conjungit, tum neglecto articulo usurpat:
καὶ ὁ χειμὼν ἔληγε, καὶ πρῶτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνεγράψατο (B. G. I, 7 pg. 38, 16 sq.).
Nomen numerale sine articulo in ejusmodi enuntiatis scriptum videmus:
B. G. II, 12 pg. 196, 20 — B. G. II, 22 pg. 238, 5 — B. G. III, 5 pg. 300, 23 — B. G. III, 7 pg. 308, 10 — B. G. III, 11 pg. 324, 12 — B. G. III, 29 pg. 401, 4 — B. G. III, 35 pg. 431, 22.

Articulus appositus est:
B. G. II, 2 pg. 154, 13 — B. G. II, 30 pg. 276, 16 — B. G. III, 1 pg. 287, 11 — B. G. III, 9 pg. 315, 17 — B. G. III, 15 pg. 340, 3 — B. G. III, 24 pg. 382, 7 — B. G. III, 39 pg. 449, 5 — B. G. IV, 21 pg. 569, 18 — B. G. IV, 35 pg. 643, 2 — cf. καὶ ὁ χειμὼν ἔληγε καὶ τέταρτον ἔτος ἐτελεύτα Ἰουστινιανῷ βασιλεῖ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντι. B. P. I, 16 pg. 81, 15 — ἦν γὰρ τοῦ ἔτους μετόπωρον, τρίτον καὶ δέκατον ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. B. P. II, 3 pg. 166, 18.

Hujusmodi enuntiata noster scripsit:
B. P. II, 5 pg. 170, 22 — B. P. II, 28 pg. 281, 19 — B. P. II, 30 pg. 299, 19 — B. V. II, 21 pg. 501, 21.

εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται (Thuc. II, 63 Periclis oratio).
εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκός τοι καὶ τούσδε ξυμφόρους δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαγίζεσθαι (III, 40 Cleonis oratio).
Class. (ad III 40) nos admonet, hunc locum proxime ad orationem illam Periclis (II, 63) accedere.

Persa quidam »Μιρράνης μὲν τὸ ἀξίωμα, Περόζης δὲ ὄνομα« (B. P. I, 13 pg. 62, 6) apud milites convocatos concionatur, ut animos eorum erigat. Qui cum alia multa, tum haec dicit:
ἢν γὰρ μὴ ἐπαξίως τῆς Περσῶν ἀρετῆς ἐν τῷ παρόντι ἀνδραγαθίζοισθε, κόλασις ὑμᾶς οὐκ εὐκλεὴς περιστήσεται (B. P. I, 14 pg. 69, 1).

In oratione legatorum Corinthiorum, qui non jam dubitandum esse, sociis Peloponnesiacis demonstrant, quin bello opus sit, ea exstant, quae Procopius videtur imitatus esse:

λύουσι (sc. σπονδάς) οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες (I, 123).

Armenii spe omni abjecta reconciliandae cum Romanis gratiae, regem Persarum Chosroem adeunt, ut ad bellum Justiniano inferendum eum concitent. Quorum in oratione haec legimus:
λύουσι γὰρ τὴν εἰρήνην οὐχ οἳ ἂν ἐν ὅπλοις γένοιντο πρῶτοι, ἀλλ' οἳ ἂν ἐπιβουλεύοντες ἐν σπονδαῖς τοῖς πέλας ἁλοῖεν (B. P. II, 3 pg 165, 20 sqq.).

In altera eorum oratione haec nobis occurrunt:
λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνομόσωσι (I, 71).

Haec noster in usum suum transtulit (B. V. II, 11 pg. 452, 14 sqq.):
λύουσι γὰρ τὰς σπονδὰς οὐχ ὅσοι ἀδικούμενοι ἐκ τοῦ ἐμφανοῦς τῶν πέλας κατηγοροῦντες ἀφίστανται, ἀλλ' ὅσοι ὑποσπόνδους ἔχειν ἀξιοῦντές τινας εἶτα βιάζονται.

Archidamus rex, plerisque bello decertandum esse censentibus, Lacedaemonios neque opibus, neque navibus Atheniensibus pares esse declarat et exspectandum esse arbitratur, dum subsidia belli confirmata sint:
ἐγκλήματα — — — πόλεμον — ὃν οὐχ ὑπάρχει εἰδέναι, καθ' ὅ τι χωρήσει (Thuc. I, 82).

Unde excerpta Procopium orationi Armeniorum supra commemoratae haec inseruisse liquet:
τὸ γὰρ ἔγκλημα — ὅπῃ ποτὲ δὲ ὁ πόλεμος χωρήσει παντί που δῆλον (B. P. II, 3 pg. 165, 22 sqq.).

Belisarium quondam militibus a castello quodam Persarum, Sisaurano, repulsis duces convocantem et cum alia tum haec dicentem facit noster:

τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον etc. (Thuc. III, 82).

τόλμα μὲν γὰρ ἀμαθὴς ἐς ὄλεθρον φέρει, μέλλησις δὲ σώφρων ἐς τὸ σώζειν ἀεί (B. P. II, 19 pg. 233, 22 sq.).

Redeo jam ad orationem illam Periclis, ex qua multum Procopium sumpsisse supra jam vidimus. Nam etiam haec eum imitatum esse, quae in litteris a Belisario ad duces Hieropolim tenentes scriptis, exstant, nemo est, quin intellegat:
— οἷς μὲν αἵρεσις γεγένηται τἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος (Thuc. II, 61).

οἷς γὰρ ἔστιν ἡσυχῇ μένουσιν ἀπηλλάχθαι κακῶν, πολλὴ ἄνοια ἐς κίνδυνον οὐκ ἀναγκαῖόν τινα ἰέναι (B. P. II, 20 pg. 242, 9 sq.).

Pestilentiam descripturus uterque de origine ejus haec in medium profert:

ἤρξατο δὲ τὸ μὲν πρῶτον ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου (Thuc. II, 48).

ἤρξατο μὲν ἐξ Αἰγυπτίων (B. P. II, 22 pg. 250, 8).

Deinde ad extremas oras orbis terrarum eam dimanasse Procopius dicit et statutum tempus unaquaque in regione exigere visam esse:

ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ (Thuc. I, 122).

ἐπὶ ῥητοῖς γὰρ ἐδόκει χωρεῖν (l. d. pg. 250, 12).

Thucydides memoriae tradidit aegrotos perpetuo siti vexatos esse:
τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι (II, 49).

Qui aegrotis inserviunt, laboribus distentos et divulsos esse, Procopius narrat:
χαμάτῳ ἀπαύστῳ ἐχόμενοι (l. d. pg. 253, 4).

Corpus autem aegrotorum praeter omnium opinionem morbum sustinuisse contendit:

καὶ τὸ σῶμα, ὅσονπερ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ (II, 49).

Neque medicos, neque medicinae imperitos morbum contraxisse, noster testatur, multosque quoslibet sepelientes vel curantes non afflictos esse:
ἐπεὶ πολλοὶ μὲν ἀεὶ καὶ τοὺς οὐδὲν σφίσι προσήκοντας ἢ θάπτοντες ἢ θεραπεύοντες ταύτῃ δὴ τῇ ὑπουργίᾳ παρὰ δόξαν ἀντεῖχον. — — — ταλαιπωρίᾳ (l. d. pg. 253, 9).

In superiore parte hujus dissertationis locuti sumus de iis, quae Procopius ad describendam Edessae oppugnationem ex Thucydide deprompsit, magis sensum quam verba secutus. Addenda sunt nonnulla, quae summam verborum similitudinem exhibeant:

ξύνδεσμος δ' ἦν αὐτοῖς (sc. Πλαταιεῦσι) τὰ ξύλα τοῦ μὴ ὑψηλὸν γιγνόμενον ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα (Thuc. II, 75).

καὶ ξύλα μακρὰ τοῦ τε χοῦ καὶ τῶν λίθων μεταξὺ ἐς ἀεὶ ἐμβαλλόμενος ἔνδεσμον ἐποιεῖτο (sc. Χοσρόης) τοῦ ἔργου, ὅπως μὴ ὑψηλὸν γενόμενον ἀσθενὲς εἴη (B. P. II, 26 pg. 270, 15 sqq.).

— προκαλύμματα εἶχε δέρρεις καὶ διφθέρας ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι (Thuc. II, 75).

προκαλύμματα ἐκ τραγείων τριχῶν, ἃ δὴ καλοῦσι Κιλίκια, πάχους τε καὶ μήκους διαρκῶς ἔχοντα, ἀρτήσαντες ἐκ ξύλων μακρῶν ἐπίπροσθεν ἀεὶ τῶν τὴν ἀγέσταν ἐργαζομένων ἐτίθεντο [sc. οἱ Πέρσαι] (οὕτω γὰρ τὸ ποιούμενον τῇ Λατίνων φωνῇ ἐκάλουν Ῥωμαῖοι). ἐνταῦθα γὰρ οὔτε πυρφόροι οἰστοὶ οὔτε τὰ ἄλλα βέλη ἐξικνεῖσθαι εἶχον, ἀλλ' αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων ἀποκρουόμενα ξύμπαντα ἔμενε (B. P. II, 26 pg. 271, 4 sqq.).

καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι (II, 75).

διὸ δὴ οἱ βάρβαροι ἐπενόουν τάδε (B. P. II, 26 pg. 271, 4).

Vitigis quoque, Romam obsidens, coriis supra commemoratis utitur ad machinas quasdam tegendas:
προκάλυμμα πανταχόθεν ἀντὶ τοίχων τε καὶ τείχους διφθέρας αὐτῇ περιβάλλουσιν, ὅπως ἥ τε μηχανὴ τοῖς ἕλκουσιν ἐλαφρὰ εἴη καὶ οἱ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὦσιν, ὡς πρὸς τῶν ἐναντίων

ἥκιστα βάλλεσθαι (B. G. I, 21 pg. 102, 15 sqq.).

Saepius Procopius haec imitatus est, quae scripta videmus Thuc. II, 76:

— ἃς (sc. μηχανάς) βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἁλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανή, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες, ἡ δὲ ῥύμῃ ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

καὶ Ἀμιδηνοὶ μὲν τὴν ἐμβολὴν ἀεὶ δοκοῖς τισιν ἐγκαρσίαις ἀνέστελλον (B. P. I, 7 pg. 35, 21 sq.). ἔστι δὲ ἡ μηχανὴ τοιαύτη· κίονες ὀρθοὶ ξύλινοι τέσσαρες ἀντίοι τε καὶ ἴσοι ἀλλήλοις ἑστᾶσι. τούτοις δὲ τοῖς κίοσι δοκοὺς ὀκτὼ ἐγκαρσίας ἐνείροντες τέσσαρες μὲν ἄνω, τοσαύτας δὲ πρὸς ταῖς βάσεσι ἐναρμόζουσιν (B. G. I, 21 pg. 102, 10 sqq.). ἐντὸς δὲ αὐτῆς (sc. τῆς μηχανῆς) δοκὸν ἑτέραν ἄνωθεν ἐγκαρσίαν ἀναρτήσαντες χαλαραῖς ταῖς ἁλύσεσι κατὰ μέσην μάλιστα τὴν μηχανὴν ἔχουσιν (l. d. pg. 102, 18 sqq.).

Homines tres gentis cujusdam Hunnicae, cui nomen erat Sabiris, ad exercitum Romanum, Petram obsidentem, profecti, ut pecuniam ab Justiniano promissam accipiant, novam quandam ac insolitam machinam fabricati sunt:

οὐ γὰρ δοκοὺς ἐς τὴν μηχανὴν ταύτην, οὐκ ὀρθάς, οὐκ ἐγκαρσίας ἐμβέβληνται, ἀλλὰ ῥάβδους παχείας τινὰς ἐς ἀλλήλας ξυνδέοντες, καὶ αὐτὰς ἀντὶ τῶν δοκῶν πανταχόθι ἐναρμοσάμενοι, βύρσαις τε τὴν μηχανὴν καλύψαντες ὅλην τὸ τοῦ κριοῦ διεσώσαντο σχῆμα, μίαν δοκὸν μόνην, ᾗπερ εἴθισται, κατὰ μέσην τὴν μηχανὴν ἁλύσεσιν ἀναρτήσαντες χαλαραῖς τισιν (B. G. IV, 11 pg. 511, 3 sqq.).

In capite, quod est de Romae obsessione haec exstant, quae dictis quibusdam de fugae consiliis a Plataeensibus captis respondent:

κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ᾗ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν· ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολὰς καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες (Thuc. III, 20).

πύργους ξυλίνους ἐποιήσαντο ἴσους τῷ τείχει τῶν πολεμίων καὶ ἔτυχέ γε τοῦ ἀληθοῦς μέτρου πολλάκις ξυμμετρησάμενος ταῖς τῶν λίθων ἐπιβολαῖς (B. G. I, 21 pg. 102, 2 sqq.

Joannes Cappadox, Justiniano bellum cum Vandalis coquente, solus non gerendum esse censet, cum aliis causis tum hac commotus, quod belli exitus penes Deum sit. Quod ita se habere majorum exempla secuto sibi persuasum esse:

παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι (Thuc. III, 10).

παραδείγμασι δὲ τῶν προγεγενημένων χρωμένους (B. V. I, 10 pg. 355, 16).

De belli Punici apparatu et terrestri et maritimo disserens, loci cujusdam Thucydidei noster reminiscitur, qui in praefatione exstat:

αὐτερέται δὲ ὅτι ἦσαν καὶ μάχιμοι πάντες — — περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν (Thuc. I, 10).

ἐν τούτοις δὴ Βυζάντιοι δισχίλιοι ἔπλεον, αὐτερέται πάντες· περίνεως γὰρ ἦν ἐν τούτοις οὐδείς (B. V. I, 11 pg. 360, 15 sq.).

Idem bellum quoddam Varnorum persequens, eadem fere verba usurpat:

περίνεως δὲ οὐκ ἦν ἐν τούτῳ τῷ στόλῳ ἀλλὰ αὐτερέται πάντες (B. G. IV, 20 pg. 564, 3 sq.).

Cygneae illi Periclis orationi noster etiam haec debet quae in exordio orationis a Proclo quaestore habita legimus:

τὸ γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον (Thuc. II, 63).

τό γε ἀσφαλὲς οὐδαμῶς σώζεται (B. P. I, 11 pg. 52, 9)

et in Belisarii oratione:

τὸ γὰρ ἀνδρεῖον οὐκ ἂν νικῴη, μὴ μετὰ τοῦ δικαίου ταττόμενον (B. V. I, 12 pg. 365, 22 sq.).

Procopium, Thucydidis exemplum secutum, homines difficultatibus circumventos ad oraculorum levitatem confugere, saepius declarare, supra jam demonstravimus. Mundi enim et filii necis mentione facta, eum locum, qui ad Thucydidis auctoritatem respicere videbatur, attulimus. Est autem similitudo non sensus solum, sed etiam verborum:

ἐν δὲ τῷ κακῷ οἷα εἰκὸς ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι (Thuc. II, 54).

